Ακαδημία Αθηνών / Academy of Athens

**κακοφραδμοσύνη.** Ροπὴ σὲ κακολογία/πανουργία, tendency to slander/cunning, Δημόκριτος 273 *γυνὴ πολλὰ ἀνδρὸς ὀξυτέρη πρὸς κακοφραδμοσύνην.*

**κακῶς** (ἀντίθ. *εὖ*). Κακῶς, badly, Δημόκριτος 160 *οὐ κακῶς ζῆν.*

**καλεῖν.** Ὀνομάζω, call/name, Ξενοφάνης 32.1 *ἥν τ' Ἶριν καλέουσι, νέφος καὶ τοῦτο πέφυκε* Φιλόλαος 7 *τὸ πρᾶτον ἁρμοσθέν, τὸ ἕν, ἐν τῷ μέσῳ τᾶς σφαίρας ἑστία καλεῖται* Διογένης 5.2 *καί μοι δοκεῖ τὸ τὴν νόησιν ἔχον εἶναι ὁ ἀὴρ καλούμενος ὑπὸ τῶν ἀνθρώπων* 6.11-48 *καὶ καλεῖται ἡ μὲν σπληνῖτις, ἡ δὲ ἡπατῖτις ... αὗται δὲ σπερματίτιδες καλοῦνται* Λεύκιππος A 24 (DK II 78,7) *καθάπερ τῶν φυσικῶν καλουμένων* Δημόκριτος 251 *ἡ ἐν δημοκρατίῃ πενίη τῆς παρὰ τοῖς δυνάστῃσι καλεομένης εὐδαιμονίης τοσοῦτόν ἐστι αἱρετωτέρη, ὁκόσον ἐλευθερίη δουλείης* Ἀρχύτας 2.2-11 *μία μὲν ἀριθμητικά, δευτέρα δὲ ἁ γεωμετρικά, τρίτα δ' ὑπεναντία, ἃν καλέοντι ἁρμονικὰν ... ἁ δ' ὑπεναντία, ἃν καλοῦμεν ἁρμονικάν.*

**Καλλιστώ** (ἀντίθ. *Αἰσχρή*). Ἡ Ὡραία (προσωποπ.), Beauty (personif.), Ἐμπεδοκλῆς 122.3 *ἔνθ' ἦσαν ... Καλλιστώ τ' Αἰσχρή τε, Θόωσά τε Δηναίη τε.* Πρβλ. *κάλλος.*

**κάλλος** (συνών. *καλλοσύνη*). Ὀμορφιά, beauty, Δημόκριτος 105 *σώματος κάλλος ζῳῶδες, ἢν μὴ νοῦς ὑπῇ.*

**καλλοσύνη** (συνών. *κάλλος*). Ὀμορφιά, beauty, Δημόκριτος 18a (τίτλ.) *Περὶ καλλοσύνης ἐπέων.*

**καλὸς 1.** (ἀντίθ. *αἰσχρός*). Ὡραῖος, beautiful, Ἡράκλειτος 102 *τῷ μὲν θεῷ καλὰ πάντα καὶ ἀγαθὰ καὶ δίκαια, ἄνθρωποι δὲ ἃ μὲν ἄδικα ὑπειλήφασιν ἃ δὲ δίκαια* 124 *σάρμα εἰκῇ κεχυμένων ὁ κάλλιστος ... κόσμος* Δημόκριτος 18 *ποιητὴς δὲ ἅσσα μὲν ἂν γράφῃ μετ' ἐνθουσιασμοῦ καὶ ἱεροῦ πνεύματος, καλὰ κάρτα ἐστίν* 73 *δίκαιος ἔρως ἀνυβρίστως ἐφίεσθαι τῶν καλῶν* 274 *κόσμος ὀλιγομυθίη γυναικί· καλὸν δὲ καὶ κόσμου λιτότης* **2.**

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



(συνών. *ἀγαθός*, ἀντίθ. *αἰσχρός*, *φαῦλος*). Ἀγαθὸς/ὀρθός, good/right, Δημόκριτος 63 *εὐλογέειν ἐπὶ κ α λ ο ῖ ς ἔργμασι κ α λ ὸ ν* 102 *κ α λ ὸ ν ἐν παντὶ τὸ ἴσον· ὑπερβολὴ δὲ καὶ ἔλλειψις οὔ μοι δοκέει* 112 *θείου νοῦ τὸ ἀεί τι διαλογίζεσθαι κ α λ ὸ ν* 182 *τὰ μὲν κ α λ ὰ χρήματα τοῖς πόνοις ἡ μάθησις ἐξεργάζεται, τὰ δ' αἰσχρὰ ἄνευ πόνων αὐτόματα καρποῦται* 194 *αἱ μεγάλαι τέρψεις ἀπὸ τοῦ θεᾶσθαι τὰ κ α λ ὰ τῶν ἔργων γίνονται.* || **τὸ καλόν.** Τὸ Καλὸ/τὸ Ὡραῖο, the Good/the Beautiful, Δημόκριτος 207 *ἡδονὴν οὐ πᾶσαν, ἀλλὰ τὴν ἐπὶ τ ῷ κ α λ ῷ αἱρεῖσθαι χρεών.* || **τὰ καλά** (ἀντίθ. *τὰ κακά*). Τὰ καλὰ/τὰ ὡραῖα, good/noble deeds, Δημόκριτος 56 *τ ὰ κ α λ ὰ γνωρίζουσι καὶ ζηλοῦσιν οἱ εὐφυέες πρὸς αὐτά.* || **καλόν** (ἐστί). Εἶναι καλὸ/πρέπει, it is good/it is proper, Ἐμπεδοκλῆς 25 *καὶ δὶς γάρ, ὃ δεῖ, κ α λ ό ν ἐστιν ἐνισπεῖν* Δημόκριτος 38 *κ α λ ὸ ν μὲν τὸν ἀδικέοντα κωλύειν· εἰ δὲ μή, μὴ ξυναδικέειν* 63 *εὐλογέειν ἐπὶ κ α λ ο ῖ ς ἔργμασι κ α λ ό ν.* Πρβλ. *ἀγαθός*.

**καλῶς** (ἀντίθ. *κακῶς*) **1.** Ὡραῖα/ἐναρμονισμένα, finely/harmoniously, Διογένης 3.5 *καὶ τὰ ἄλλα, εἴ τις βούλεται ἐννοεῖσθαι, εὑρίσκοι ἂν οὕτω διακείμενα ὡς ἀνυστὸν κ ά λ λ ι σ τ α* **2.** Καλὰ/ὀρθά, rightly/correctly, Ἀρχύτας 1.1-3-5 *κ α λ ῶ ς μοι δοκοῦντι τοὶ περὶ τὰ μαθήματα διαγνώμεναι ... περὶ γὰρ τᾶς τῶν ὅλων φύσιος κ α λ ῶ ς διαγνόντες ἔμελλον καὶ περὶ τῶν κατὰ μέρος, οἷά ἐντι, κ α λ ῶ ς ὀψεῖσθαι.* Πρβλ. *εὖ*.

**κάματος.** Κάματος/κούραση, weariness/tiredness, Ἡράκλειτος 84b *κ ά μ α τ ό ς ἐστι τοῖς αὐτοῖς μοχθεῖν τε καὶ ἄρχεσθαι* 111 *νοῦσος ὑγιείην ἐποίησεν ἡδὺ καὶ ἀγαθόν, λιμὸς κόρον, κ ά μ α τ ο ς ἀνάπαυσιν.*

**κανών.** Κανών, canon/rule, Δημόκριτος 6 *γιγνώσκειν τε χρὴ... ἄνθρωπον τῷδε τῷ κ α ν ό ν ι, ὅτι ἐτεῆς ἀπήλλακται* 10b (τίτλ.) *Περὶ λογικῶν ἢ Κ α ν ὼ ν ΑΒΓ* 11 (τίτλ.) *ἐν δὲ τοῖς Κ α ν ό σ ι* δύο φησὶν εἶναι γνώσεις Ἀρχύτας 3.13 *κ α ν ὼ ν δὲ καὶ κωλυτὴρ τῶν ἀδικούντων ⟨ἐὼν⟩* (sc. *ὁ λογισμός*) *τοὺς μὲν ἐπισταμένους λογίζεσθαι πρὶν ἀδικεῖν ἔπαυσε, πείσας ὅτι οὐ δυνασοῦνται λαθεῖν, ὅταν ἐπ' αὐτὸν ἔλθωντι.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ